τόδ᾽ ἐστιν ἁρμόττον τε συμφέρον θ᾽ ἅμα, ἀρθρ. στιχ. λθ. 824
ὅ δ᾽ οὐκ ἀνεῖλε, τοῦτ᾽ ἀσύμφορον πάνυ,
κἀπιβλαβές, μᾶλλον δὲ ληφθὲν ἀφθόνως.
πᾶν φάρμακον δράσει γὰρ αὐτοῦ τὴν δρᾶσιν
ἥγ᾽ ἐμπέφυκε τῷδε· τοιγὰρ ἡνίκα
οὐ θιγγάνει τόδ᾽ αἰτίας δρώσης ὅλως,
ἄλλην τιν᾽ ἂν δράσειε σώματι δρᾶσιν,
ὀνήσιμον μὲν οὐδαμῶς, τῆς δ᾽ αἰτίας
οὔσης ἀθίκτου, βλαπτικὴν δ᾽ ἔμπης ἅλις·
τῇ πρὶν γὰρ ἥδε προστεθήσετ᾽ αἰτίᾳ
κινήσεων σύστημα συγχέουσ᾽ ἅτε,
οἴσει δὲ δεινὰ δισσά· πρὸς δ᾽ αὖ καὶ μόρον
ἤνεγκεν ἤδ᾽ ἄν, φάρμακ᾽ ἢν ᾖ τοιάδε
ληφθέντ᾽ ἀσυμφόρως μὲν, ἀφθόνως δ᾽ ἄγαν·
ὡς πολλαπλασίων γὰρ ἡ τῶνδε δρᾶσις,
μακρῷ τε δρῶσα δραστικωτέρῳ σθένει, κβ. 464
κινήσεων πᾶν ῥᾷστ᾽ ἀμαυρώσει σθένος. -- 473

*MA.* Ὅς τοιγαροῦν ἔγνω μὲν αἰτίαν σάφα, μ. 844
ἔγνω δ᾽ ἐναργῶς χρῆσιν ἁπλῶν φαρμάκων, -- 848
ῥᾷον μὲν οὗτος οἶδεν ἀλθαίνειν νόσον,
ἁπλοῖς δὲ φαρμάκοισι κὠλίγοις πάνυ,
ἀλλ᾽ οὖν ἐφαρμόττουσι συμφέρουσί τε.
μᾶλλον δ᾽ ὃς οἶδε ῥᾷον ἀλθαίνειν νόσον,
καὶ ταῦτα φαρμάκοισιν ἁπλοῖς κὠλίγοις,
οὗτος σαφῶς ἔγνωκεν αἰτίαν νόσου,
καὶ ξυμφερόντων χρῆσιν ἁπλῶν φαρμάκων.

ἄλλως